διαπέμψας ἱππέας προεῖπε τῷ πρώτῳ ἐπιβάντι τοῦ τείχεος
2 δῶρα δώσειν. μετὰ δὲ τοῦτο πειρησαμένης τῆς στρατιῆς.
ὡς οὐ προεχώρεε, ἐνθαῦτα τῶν ἄλλων πεπαυμένων ἀνὴρ
Μάρδος ἐπειρᾶτο προσβαίνων, τῷ οὔνομα ἦν Ὑροιάδης, κατὰ
τοῦτο τῆς ἀκροπόλιος τῇ οὐδεὶς ἐτέτακτο φύλακος· οὐ γὰρ
3 ἦν δεινὸν κατὰ τοῦτο μὴ ἁλῷ κοτε. ἀπότομός τε γάρ ἐστι
ταύτῃ ἡ ἀκρόπολις καὶ ἄμαχος· τῇ οὐδὲ Μήλης ὁ πρότερον
βασιλεὺς Σαρδίων μούνῃ οὐ περιήνεικε τὸν λέοντα τόν οἱ ἡ
παλλακὴ ἔτεκε, Τελμησσέων δικασάντων ὡς περιενειχθέντος
τοῦ λέοντος τὸ τεῖχος ἔσονται Σάρδιες ἀνάλωτοι. ὁ δὲ
Μήλης κατὰ τὸ ἄλλο τεῖχος περιενείκας, τῇ ἦν ἐπίμαχον [τὸ
χωρίον] τῆς ἀκροπόλιος, κατηλόγησε τοῦτο ὡς ἐὸν ἄμαχόν
τε καὶ ἀπότομον· ἔστι δὲ πρὸς τοῦ Τμώλου τετραμμένον τῆς
4 πόλιος. ὁ ὦν δὴ Ὑροιάδης οὗτος ὁ Μάρδος ἰδὼν τῇ προ-
τεραίῃ τῶν τινα Λυδῶν κατὰ τοῦτο τῆς ἀκροπόλιος καταβάντα
ἐπὶ κυνέην ἄνωθεν κατακυλισθεῖσαν καὶ ἀνελόμενον ἐφράσθη
5 καὶ ἐς θυμὸν ἐβάλετο. τότε δὲ δὴ αὐτός τε ἀνεβεβήκεε καὶ
κατ' αὐτὸν ἄλλοι Περσέων ἀνέβαινον· προσβάντων δὲ συχνῶν
οὕτω δὴ Σάρδιές τε ἡλώκεσαν καὶ πᾶν τὸ ἄστυ ἐπορθέετο.
85 κατ' αὐτὸν δὲ Κροῖσον τάδε ἐγίνετο. ἦν οἱ παῖς, τοῦ καὶ
πρότερον ἐπεμνήσθην, τὰ μὲν ἄλλα ἐπιεικής, ἄφωνος δέ. ἐν
τῇ ὦν παρελθούσῃ εὐεστοῖ ὁ Κροῖσος τὸ πᾶν ἐς αὐτὸν
ἐπεποιήκεε ἄλλα τε ἐπιφραζόμενος καὶ δὴ καὶ ἐς Δελφοὺς
2 περὶ αὐτοῦ ἐπεπόμφεε χρησομένους. ἡ δὲ Πυθίη οἱ εἶπε
τάδε·

Λυδὲ γένος, πολλῶν βασιλεῦ, μέγα νήπιε Κροῖσε,
μὴ βούλευ πολύευκτον ἰὴν ἀνὰ δώματ' ἀκούειν

1 ἐπέας SV 2 δῶρα + + + + δώσειν D πειρασ. RSV
3 προσεχώρεε(ν) d πεπαυσαμ. SV[1] : πεπαυσ + μ. V[c] 4 Μαρδὸς
D (it. 14) Ὑριάδης R 7 Μηλὴς D (it. 11) πρότερος d P[c]
9 παλακὴ C[1] D[1] R Τελμισσέων D[c] : Τελμισέων RSV δικασόντων
DRV -χθέντες R 11 τὸ χωρίον del. Krueger 12 κατη-
λόγισε D[1] τοῦτο Reiske : τούτου L 13 πρὸ + V 14 οὗτος
Reiske : αὐτὸς L 15 τὸν A B[1] 17 ἐβάλλετο BV δὲ om. B
ὁ αὐτός d ἀναβεβ. L (-κε S) 19 ἡαλ. V : ἑαλ. S 20 ἐγί-
νετο] alt. ε in lit. 2 litt. R[1] : ἐγένετο C 22 οὖν RV εὐθηνίᾳ d
εαυτὸν SV 23 ἐπισφρ. R 24 χρησόμενος D[1], corr. m. 1 : χρησο-
μένοις RV 27 βούλου a P ἴην DRV



παιδὸς φθεγγομένου. τὸ δέ σοι πολὺ λώιον ἀμφὶς
ἔμμεναι· αὐδήσει γὰρ ἐν ἤματι πρῶτον ἀνόλβῳ.

ἁλισκομένου δὴ τοῦ τείχεος, ἤιε γὰρ τῶν τις Περσέων 3
ἀλλογνώσας Κροῖσον ὡς ἀποκτενέων, Κροῖσος μέν νυν ὁρέων
ἐπιόντα ὑπὸ τῆς παρεούσης συμφορῆς παρημελήκεε, οὐδέ τί
οἱ διέφερε πληγέντι ἀποθανεῖν· ὁ δὲ παῖς οὗτος ὁ ἄφωνος 4
ὡς εἶδε ἐπιόντα τὸν Πέρσην, ὑπὸ δέους τε καὶ κακοῦ ἔρρηξε
φωνήν, εἶπε δέ· Ὤνθρωπε, μὴ κτεῖνε Κροῖσον. οὗτος μὲν
δὴ τοῦτο πρῶτον ἐφθέγξατο, μετὰ δὲ τοῦτο ἤδη ἐφώνεε τὸν
πάντα χρόνον τῆς ζόης.

Οἱ δὲ Πέρσαι τάς τε δὴ Σάρδις ἔσχον καὶ αὐτὸν Κροῖσον 86
ἐζώγρησαν, ἄρξαντα ἔτεα τεσσερεσκαίδεκα καὶ τεσσερεσ-
καίδεκα ἡμέρας πολιορκηθέντα, κατὰ τὸ χρηστήριόν τε
καταπαύσαντα τὴν ἑωυτοῦ μεγάλην ἀρχήν. λαβόντες δὲ αὐ-
τὸν οἱ Πέρσαι ἤγαγον παρὰ Κῦρον. ὁ δὲ συννήσας πυρὴν 2
μεγάλην ἀνεβίβασε ἐπ' αὐτὴν τὸν Κροῖσόν τε ἐν πέδῃσι
δεδεμένον καὶ δὶς ἑπτὰ Λυδῶν παρ' αὐτὸν παῖδας, ἐν νόῳ
ἔχων εἴτε δὴ ἀκροθίνια ταῦτα καταγιεῖν θεῶν ὅτεῳ δή, εἴτε
καὶ εὐχὴν ἐπιτελέσαι θέλων, εἴτε καὶ πυθόμενος τὸν Κροῖσον
εἶναι θεοσεβέα τοῦδε εἵνεκεν ἀνεβίβασε ἐπὶ τὴν πυρήν, βου-
λόμενος εἰδέναι εἴ τίς μιν δαιμόνων ῥύσεται τοῦ μὴ ζῶντα
κατακαυθῆναι. τὸν μὲν δὴ ποιέειν ταῦτα, τῷ δὲ Κροίσῳ 3
ἑστεῶτι ἐπὶ τῆς πυρῆς ἐσελθεῖν, καίπερ ἐν κακῷ ἐόντι
τοσούτῳ, τὸ τοῦ Σόλωνος, ὥς οἱ εἴη σὺν θεῷ εἰρημένον,
τὸ μηδένα εἶναι τῶν ζωόντων ὄλβιον. ὡς δὲ ἄρα μιν
προσστῆναι τοῦτο, ἀνενεικάμενόν τε καὶ ἀναστενάξαντα ἐκ
πολλῆς ἡσυχίης ἐς τρὶς ὀνομάσαι 'Σόλων'. καὶ τὸν Κῦρον 4

3 δὲ d 4 ἄλλον γνώσας d 5 παρημεληκέναι C[1] : παρημέλεε
γρ. C[2] 6 ἀποθανέειν L 7 ὡς om. C τε καί + κου D : τε
καί κου RV : δέ κου S 8 τὸν Κροῖσον D 10 ζωῆς d 11 αὐ-
τὸν + + + P 12 τεσσερ. C : τεσσαρ. rell. τεσσαρ. L 13 τε]
τε καὶ d P[1] 15 συνήσας C[1] DRV 16–17 δεδεμένον ἐν πέδησι d
19 pr. καὶ om. D alt. καὶ om. SV 20 εἶναι] οὖν D πυράν D[1]
21 ῥύσσεται V 25 εἶναι om. A[1] ζώντων D[c] RSV 26 προ-
στῆναι L : corr. Schweighaeuser 27 λειποψυχίης d (-ας D)
Σόλωνα S

ἀκούσαντα κελεῦσαι τοὺς ἑρμηνέας ἐπειρέσθαι τὸν Κροῖσον
τίνα τοῦτον ἐπικαλέοιτο, καὶ τοὺς προσελθόντας ἐπειρωτᾶν.
Κροῖσον δὲ ἕως μὲν σιγὴν ἔχειν εἰρωτώμενον, μετὰ δέ, ὡς
ἠναγκάζετο, εἰπεῖν· Τὸν ἂν ἐγὼ πᾶσι τυράννοισι προετίμησα
μεγάλων χρημάτων ἐς λόγους ἐλθεῖν. ὡς δέ σφι ἄσημα
5 ἔφραζε, πάλιν ἐπειρώτων τὰ λεγόμενα. λιπαρεόντων δὲ
αὐτῶν καὶ ὄχλον παρεχόντων ἔλεγε δὴ ὡς ἦλθε ἀρχὴν ὁ
Σόλων ἐὼν Ἀθηναῖος, καὶ θεησάμενος πάντα τὸν ἑωυτοῦ
ὄλβον ἀποφλαυρίσειε (οἷα δὴ εἴπας), ὥς τε αὐτῷ πάντα ἀπο-
βεβήκοι τῇ περ ἐκεῖνος εἶπε, οὐδέν τι μᾶλλον ἐς ἑωυτὸν
λέγων ἢ ⟨οὐκ⟩ ἐς ἅπαν τὸ ἀνθρώπινον καὶ μάλιστα τοὺς παρὰ
σφίσι αὐτοῖσι ὀλβίους δοκέοντας εἶναι. τὸν μὲν Κροῖσον
ταῦτα ἀπηγέεσθαι, τῆς δὲ πυρῆς ἤδη ἁμμένης καίεσθαι τὰ
6 περιέσχατα. καὶ τὸν Κῦρον ἀκούσαντα τῶν ἑρμηνέων τὰ
Κροῖσος εἶπε, μεταγνόντα τε καὶ ἐννώσαντα ὅτι καὶ αὐτὸς
ἄνθρωπος ἐὼν ἄλλον ἄνθρωπον, γενόμενον ἑωυτοῦ εὐδαιμονίῃ
οὐκ ἐλάσσω, ζῶντα πυρὶ διδοίη, πρός τε τούτοισι δείσαντα
τὴν τίσιν καὶ ἐπιλεξάμενον ὡς οὐδὲν εἴη τῶν ἐν ἀνθρώ-
ποισι ἀσφαλέως ἔχον, κελεύειν σβεννύναι τὴν ταχίστην τὸ
καιόμενον πῦρ καὶ καταβιβάζειν Κροῖσόν τε καὶ τοὺς μετὰ
Κροίσου. καὶ τοὺς πειρωμένους οὐ δύνασθαι ἔτι τοῦ πυρὸς
87 ἐπικρατῆσαι. ἐνθαῦτα λέγεται ὑπὸ Λυδῶν Κροῖσον μαθόντα
τὴν Κύρου μετάγνωσιν, ὡς ὥρα πάντα μὲν ἄνδρα σβεννύντα
τὸ πῦρ, δυναμένους δὲ οὐκέτι καταλαβεῖν, ἐπιβώσασθαι τὸν
Ἀπόλλωνα ἐπικαλεόμενον, εἴ τί οἱ κεχαρισμένον ἐξ αὐτοῦ
ἐδωρήθη, παραστῆναι καὶ ῥύσασθαί μιν ἐκ τοῦ παρεόντος
2 κακοῦ. τὸν μὲν δακρύοντα ἐπικαλέεσθαι τὸν θεόν, ἐκ δὲ
αἰθρίης τε καὶ νηνεμίης συνδραμεῖν ἐξαπίνης νέφεα καὶ
χειμῶνά τε καταρραγῆναι καὶ ὗσαι ὕδατι λαβροτάτῳ, κατα-

3 ἕως d Eustath. Il. 80 : τέως a P  ἐρωτ. L  ὡς a P Const. : om. d  9 οἵ ἃ d  ἀποβεβήκοι Cantabr. : ἀποβέβηκέ οἱ a P : ἀποβεβήκεε d  11 οὐκ add. Stein  παρὰ] κάρτα Naber  17 ἐλ + άσσω D  ζώοντα C  πυρῇ R S V  19 κελεύειν B$^2$ V$^2$ : κελεύει rell.  23 ὥρα R  26 μιν d : αὐτὸν a P Const.  29 κασβεσθ. V : καὶ σβεσθ. S



σβεσθῆναί τε τὴν πυρήν. οὕτω δὴ μαθόντα τὸν Κῦρον ὡς εἴη
ὁ Κροῖσος καὶ θεοφιλὴς καὶ ἀνὴρ ἀγαθός, καταβιβάσαντα
αὐτὸν ἀπὸ τῆς πυρῆς εἰρέσθαι τάδε· Κροῖσε, τίς σε ἀνθρώπων 3
ἀνέγνωσε ἐπὶ γῆν τὴν ἐμὴν στρατευσάμενον πολέμιον ἀντὶ
φίλου ἐμοὶ καταστῆναι; ὁ δὲ εἶπε· Ὦ βασιλεῦ, ἐγὼ ταῦτα
ἔπρηξα τῇ σῇ μὲν εὐδαιμονίῃ, τῇ ἐμεωυτοῦ δὲ κακοδαιμονίῃ·
αἴτιος δὲ τούτων ἐγένετο ὁ Ἑλλήνων θεὸς ἐπάρας ἐμὲ στρα-
τεύεσθαι. οὐδεὶς γὰρ οὕτω ἀνόητός ἐστι ὅστις πόλεμον πρὸ 4
εἰρήνης αἱρέεται· ἐν μὲν γὰρ τῇ οἱ παῖδες τοὺς πατέρας
θάπτουσι, ἐν δὲ τῷ οἱ πατέρες τοὺς παῖδας. ἀλλὰ ταῦτα
δαίμονί κου φίλον ἦν οὕτω γενέσθαι. ὁ μὲν ταῦτα ἔλεγε, 88
Κῦρος δὲ αὐτὸν λύσας κατεῖσέ τε ἐγγὺς ἑωυτοῦ καὶ κάρτα ἐν
πολλῇ προμηθίῃ εἶχε, ἀπεθώμαζέ τε ὁρέων καὶ αὐτὸς καὶ οἱ
περὶ ἐκεῖνον ἐόντες πάντες. ὁ δὲ συννοίῃ ἐχόμενος ἥσυχος
ἦν. μετὰ δὲ ἐπιστραφείς τε καὶ ἰδόμενος τοὺς Πέρσας τὸ 2
τῶν Λυδῶν ἄστυ κεραΐζοντας εἶπε· Ὦ βασιλεῦ, κότερον
λέγειν πρὸς σὲ τὰ νοέων τυγχάνω ἢ σιγᾶν ἐν τῷ παρεόντι
χρή; Κῦρος δέ μιν θαρσέοντα ἐκέλευε λέγειν ὅ τι βούλοιτο.
ὁ δὲ αὐτὸν εἰρώτα λέγων· Οὗτος ὁ πολλὸς ὅμιλος τί ταῦτα 3
πολλῇ σπουδῇ ἐργάζεται; ὁ δὲ εἶπε· Πόλιν τε τὴν σὴν
διαρπάζει καὶ χρήματα τὰ σὰ διαφορέει. Κροῖσος δὲ ἀμεί-
βετο· Οὔτε πόλιν τὴν ἐμὴν οὔτε χρήματα τὰ ἐμὰ διαρπάζει·
οὐδὲν γὰρ ἐμοὶ ἔτι τούτων μέτα· ἀλλὰ φέρουσί τε καὶ ἄγουσι
τὰ σά. Κύρῳ δὲ ἐπιμελὲς ἐγένετο τὰ Κροῖσος εἶπε, μετα- 89
στησάμενος δὲ τοὺς ἄλλους εἴρετο Κροῖσον ὅ τι οἱ ἐνορῴη ἐν
τοῖσι ποιευμένοισι. ὁ δὲ εἶπε· Ἐπείτε με θεοὶ ἔδωκαν δοῦλόν
σοι, δικαιῶ, εἴ τι ἐνορῶ πλέον, σημαίνειν σοι. Πέρσαι φύσιν 2
ἐόντες ὑβρισταὶ εἰσὶ ἀχρήματοι· ἢν ὦν σὺ τούτους περιίδῃς
διαρπάσαντας καὶ κατασχόντας χρήματα μεγάλα, τάδε τοι ἐξ

2 alt. καὶ om. R  6 μὲν add. D$^2$  7 ἐπάρας A : ἐπαιίρας B  9 αἱρέ + εται B : αἱρέται S  11 δαίμοσί a P  12 κάτισέ d  13 ἀπεθώμ. C P$^1$ : ἀπεθωυμ. rell. (ἀπο- D)  14 συνοίῃ R V  15 αἰδομ. S V : εἰδ. C  18 χρή d : χρόνῳ a P  19 ἠρώτα D S V  λέγων οὕτως· ὁ d  20 πολλῇ om. d  εἶπαι R  21 διαφθορέει d  22 τὰ ante χρ. τὰ add. D$^2$  23 ἐπὶ C  26 δῶκαν d  27 ἐνορέω C  28 περιείδῃς d  29 κατασχόντες R

αὐτῶν ἐπίδοξα γενέσθαι· ὃς ἂν αὐτῶν πλεῖστα κατάσχῃ,
τοῦτον προσδέκεσθαί τοι ἐπαναστησόμενον. νῦν ὦν ποίησον
3 ὧδε, εἴ τοι ἀρέσκει τὰ ἐγὼ λέγω. κάτισον τῶν δορυφόρων
ἐπὶ πάσῃσι τῇσι πύλῃσι φυλάκους, οἳ λεγόντων πρὸς τοὺς
ἐκφέροντας τὰ χρήματα ἀπαιρεόμενοι ὥς σφεα ἀναγκαίως
ἔχει δεκατευθῆναι τῷ Διί. καὶ σύ τέ σφι οὐκ ἀπεχθήσεαι βίῃ
ἀπαιρεόμενος τὰ χρήματα, καὶ ἐκεῖνοι συγγνόντες ποιέειν σε
90 δίκαια ἑκόντες προήσουσι. ταῦτα ἀκούων ὁ Κῦρος ὑπερήδετο,
ὥς οἱ ἐδόκεε εὖ ὑποτίθεσθαι· αἰνέσας δὲ πολλὰ καὶ ἐντειλά-
μενος τοῖσι δορυφόροισι τὰ Κροῖσος ὑπεθήκατο ἐπιτελέειν
εἶπε πρὸς Κροῖσον τάδε· Κροῖσε, ἀναρτημένου σεῦ ἀνδρὸς
βασιλέος χρηστὰ ἔργα καὶ ἔπεα ποιέειν, αἰτέο δόσιν ἥντινα
2 βούλεαί τοι γενέσθαι παραυτίκα. ὁ δὲ εἶπε· Ὦ δέσποτα,
ἐάσας με χαριῇ μάλιστα τὸν θεὸν τῶν Ἑλλήνων, τὸν ἐγὼ
ἐτίμησα θεῶν μάλιστα, ἐπειρέσθαι, πέμψαντα τάσδε τὰς
πέδας, εἰ ἐξαπατᾶν τοὺς εὖ ποιεῦντας νόμος ἐστί οἱ. Κῦρος
3 δὲ εἴρετο ὅ τι οἱ τοῦτο ἐπηγορέων παραιτέοιτο. Κροῖσος δέ
οἱ ἐπαλιλλόγησε πᾶσαν τὴν ἑωυτοῦ διάνοιαν καὶ τῶν χρη-
στηρίων τὰς ὑποκρίσιας καὶ μάλιστα τὰ ἀναθήματα καὶ ὡς
ἐπαρθεὶς τῷ μαντηίῳ ἐστρατεύσατο ἐπὶ Πέρσας. λέγων δὲ
ταῦτα κατέβαινε αὖτις παραιτεόμενος ἐπεῖναί οἱ τῷ θεῷ τοῦτο
ὀνειδίσαι. Κῦρος δὲ γελάσας εἶπε· Καὶ τούτου τεύξεαι παρ'
4 ἐμεῦ, Κροῖσε, καὶ ἄλλου παντὸς τοῦ ἂν ἑκάστοτε δέῃ. ὡς δὲ
ταῦτα ἤκουσε ὁ Κροῖσος, πέμπων τῶν Λυδῶν ἐς Δελφοὺς
ἐνετέλλετο τιθέντας τὰς πέδας ἐπὶ τοῦ νηοῦ τὸν οὐδὸν εἰρωτᾶν
εἰ οὔ τι ἐπαισχύνεται τοῖσι μαντηίοισι ἐπάρας Κροῖσον στρα-

2 τούτων προδ. R τι V[1] 3 εἴ τι S V κάθισον B D[c] (1) R: θάρισον V[1]: θάρρησον S δο + ρυφ. D: δορηφ. R 5 ἀπαιρεούμενοι d (ἀπαρε + ό + μ. V) ὥσφεα C D V[1]: ὥς σφε R S ἀναγκαίους D[1] 6 ἀπεχθήσεται D[1] 8 προήσουσι Bekker: ποιήσουσι(ν) L 9 εὖ om. d 11 τὸν Κροῖσον R ἀνηρτημ. d 12 χρηστοῦ Reiske αἴτεο B D δώσιν B[1]: δοσειν D[1]: δώσειν D[c]: τὴν δόσιν R S V τήντινα L 13 βούλεέ R V: βούλεται D[1] 14 χαριεῖ a: χαρείη D τῶν] τὸν A 15 θεὸν S V 16 εὖ ποιοῦντας A d: εὐποιοῦντας B 17 ἐπηγορέων Bredow: -ρεύων L 18 ἐπαλιλλόγησε Poll. ii. 120 cod. Paris. B: ἐπανηλόγησε L 21 αὖθις a τοῦτο P: τούτω(ι) rell. 22 τεύξαιε D 23 ἐμεῦ a D P: ἐμοῦ R S V καὶ + + + ἄλλου D 24 ἤκουε Κροῖσος d 26 μαντοίοισιν V ἐπάιρας A B



τεύεσθαι ἐπὶ Πέρσας ὡς καταπαύσοντα τὴν Κύρου δύναμιν,
ἀπ' ἧς οἱ ἀκροθίνια τοιαῦτα γενέσθαι, δεικνύντας τὰς πέδας·
ταῦτά τε ἐπειρωτᾶν καὶ εἰ ἀχαρίστοισι νόμος εἶναι τοῖσι
Ἑλληνικοῖσι θεοῖσι.
Ἀπικομένοισι δὲ τοῖσι Λυδοῖσι καὶ λέγουσι τὰ ἐντε- 91
ταλμένα τὴν Πυθίην λέγεται εἰπεῖν τάδε· Τὴν πεπρωμένην
μοῖραν ἀδύνατά ἐστι ἀποφυγεῖν καὶ θεῷ. Κροῖσος δὲ πέμπτου
γονέος ἁμαρτάδα ἐξέπλησε, ὃς ἐὼν δορυφόρος Ἡρακλειδέων
δόλῳ γυναικηίῳ ἐπισπόμενος ἐφόνευσε τὸν δεσπότεα καὶ
ἔσχε τὴν ἐκείνου τιμὴν οὐδέν οἱ προσήκουσαν. προθυμεο- 2
μένου δὲ Λοξίεω ὅκως ἂν κατὰ τοὺς παῖδας τοῦ Κροίσου
γένοιτο τὸ Σαρδίων πάθος καὶ μὴ κατ' αὐτὸν Κροῖσον, οὐκ
οἷός τε ἐγένετο παραγαγεῖν Μοίρας. ὅσον δὲ ἐνέδωκαν αὗται, 3
ἤνυσέ τε καὶ ἐχαρίσατό οἱ· τρία γὰρ ἔτεα ἐπανεβάλετο τὴν
Σαρδίων ἅλωσιν, καὶ τοῦτο ἐπιστάσθω Κροῖσος ὡς ὕστερον
τοῖσι ἔτεσι τούτοισι ἁλοὺς τῆς πεπρωμένης. δεύτερα δὲ
τούτων καιομένῳ αὐτῷ ἐπήρκεσε. κατὰ δὲ τὸ μαντήιον τὸ 4
γενόμενον οὐκ ὀρθῶς Κροῖσος μέμφεται· προηγόρευε γάρ
οἱ Λοξίης, ἢν στρατεύηται ἐπὶ Πέρσας, μεγάλην ἀρχὴν [αὐ-
τὸν] καταλύσειν. τὸν δὲ πρὸς ταῦτα χρῆν εὖ μέλλοντα
βουλεύεσθαι ἐπειρέσθαι πέμψαντα κότερα τὴν ἑωυτοῦ ἢ τὴν
Κύρου λέγοι ἀρχήν. οὐ συλλαβὼν δὲ τὸ ῥηθὲν οὐδ' ἐπανειρό-
μενος ἑωυτὸν αἴτιον ἀποφαινέτω. [ᾧ] καὶ τὸ τελευταῖον 5
χρηστηριαζομένῳ εἶπε [τὰ εἶπε] Λοξίης περὶ ἡμιόνου, οὐδὲ
τοῦτο συνέλαβε. ἦν γὰρ δὴ ὁ Κῦρος οὗτος ἡμίονος· ἐκ γὰρ
δυῶν οὐκ ὁμοεθνέων ἐγεγόνεε, μητρὸς ἀμείνονος, πατρὸς δὲ
ὑποδεεστέρου· ἡ μὲν γὰρ ἦν Μηδὶς καὶ Ἀστυάγεος θυγάτηρ 6

1 καταπαύσαντα d 2 τὲ τὰς D 3 τοιαῦτά d ἐπειρωτᾶν] ει D[c] 5 δὲ om. C 7 μοῖραν C P: μοίρην rell. ἀποφυγέειν L 8 γένεος d C P 9 ἐπισπώμενος D[1] S V δεσπότην D[1] 10 προ-θεμένου C[1] 11 ὅπως R V τοῦ] τοὺς A C 13 οἷόν a P ἐγίνετο a 14 ἤνυσέ τε Schaefer: ἠνύσατο L ἐπανεβάλλετο C τὴν om. S V 15 τούτω R: οὕτω Stein 19 στρατεύεται D[1] R V αὐτὸν om. d 20 εὖ om. d 22 λέγει d [V] P 23 ᾧ del. Krueger 24 τὰ εἶπε om. S V 25 τούτου R: τοῦ S V συνέλαβε Aldus: συνέβαλλε D: συνέβαλε(ν) rell. 26 δυοῖν L μητρὸς ⟨μὲν⟩ Herwerden

τοῦ Μήδων βασιλέος, ὁ δὲ Πέρσης τε ἦν και ἀρχόμενος ὑπ'
ἐκείνοισι καὶ ἔνερθε ἐὼν τοῖσι ἅπασι δεσποίνῃ τῇ ἑωυτοῦ
συνοίκεε. ταῦτα μὲν ἡ Πυθίη ὑπεκρίνατο τοῖσι Λυδοῖσι, οἱ
δὲ ἀνήνεικαν ἐς Σάρδις καὶ ἀπήγγειλαν Κροίσῳ. ὁ δὲ ἀκούσας
συνέγνω ἑωυτοῦ εἶναι τὴν ἁμαρτάδα καὶ οὐ τοῦ θεοῦ.

92 Κατὰ μὲν δὴ τὴν Κροίσου τε ἀρχὴν καὶ Ἰωνίης τὴν πρώτην
καταστροφὴν ἔσχε οὕτω. Κροίσῳ δὲ ἔστι καὶ ἄλλα ἀναθή-
ματα ἐν τῇ Ἑλλάδι πολλὰ καὶ οὐ τὰ εἰρημένα μοῦνα, ἐν μὲν
γὰρ Θήβῃσι τῇσι Βοιωτῶν τρίπους χρύσεος, τὸν ἀνέθηκε τῷ
Ἀπόλλωνι τῷ Ἰσμηνίῳ, ἐν δὲ Ἐφέσῳ αἵ τε βόες αἱ χρύσεαι
καὶ τῶν κιόνων αἱ πολλαί, ἐν δὲ Προνηίης τῆς ἐν Δελφοῖσι
ἀσπὶς χρυσέη μεγάλη. ταῦτα μὲν καὶ ἔτι ἐς ἐμὲ ἦν περιεόντα,
2 τὰ δ' ἐξαπόλωλε [τὰ] τῶν ἀναθημάτων. τὰ δ' ἐν Βραγχίδῃσι
τῇσι Μιλησίων ἀναθήματα Κροίσῳ, ὡς ἐγὼ πυνθάνομαι, ἴσα
τε σταθμὸν καὶ ὅμοια τοῖσι ἐν Δελφοῖσι. τὰ μέν νυν ἔς τε
Δελφοὺς καὶ ἐς τοῦ Ἀμφιάρεω ἀνέθηκε οἰκήιά τε ἐόντα καὶ
τῶν πατρωίων χρημάτων ἀπαρχήν, τὰ δὲ ἄλλα ἀναθήματα
ἐξ ἀνδρὸς ἐγένετο οὐσίης ἐχθροῦ, ὅς οἱ πρὶν ἢ βασιλεῦσαι
ἀντιστασιώτης κατεστήκεε συσπεύδων Πανταλέοντι γενέσθαι
3 τὴν Λυδῶν ἀρχήν. ὁ δὲ Πανταλέων ἦν Ἀλυάττεω μὲν παῖς,
Κροίσου δὲ ἀδελφεὸς οὐκ ὁμομήτριος· Κροῖσος μὲν γὰρ ἐκ
Καείρης ἦν γυναικὸς Ἀλυάττῃ, Πανταλέων δὲ ἐξ Ἰάδος.
4 ἐπείτε δὲ δόντος τοῦ πατρὸς ἐκράτησε τῆς ἀρχῆς ὁ Κροῖσος,
τὸν ἄνθρωπον τὸν ἀντιπρήσσοντα ἐπὶ κνάφου ἕλκων διέ-
φθειρε, τὴν δὲ οὐσίην αὐτοῦ ἔτι πρότερον κατιρώσας τότε
τρόπῳ τῷ εἰρημένῳ ἀνέθηκε ἐς τὰ εἴρηται. καὶ περὶ μὲν
ἀναθημάτων τοσαῦτα εἰρήσθω.

93 Θώματα δὲ γῆ ⟨ἡ⟩ Λυδίη ἐς συγγραφὴν οὐ μάλα ἔχει,
οἷά γε καὶ ἄλλη χώρη, πάρεξ τοῦ ἐκ τοῦ Τμώλου κατα-

1 βασιλέως B C D V[1] τε om. R 2 ἔνερθεν R [V] 4 ἀνεί-
καν D τῶ Κρ. d 7 Κροίσῳ . . . εἰρήσθω (27) om. d 13 τὰ
del. Reiske 14 τοῖσι Reiske 15 post Δελφοῖσι lacunam
statuit Stein 24 κνάφου Hesych. s. v. ἐπὶ κνάφου ἕλκων : γνάφου
Plut. mor. 858 e : κναφηΐου L 25 κατι + ρώσας B 28 θώματα
C : θώυματα A B P : θώυμα d ἡ add. Schaefer 29 γε Krueger :
τε L



φερομένου ψήγματος. ἓν δὲ ἔργον πολλὸν μέγιστον 2
παρέχεται χωρὶς τῶν τε Αἰγυπτίων ἔργων καὶ τῶν Βαβυ-
λωνίων· ἔστι αὐτόθι Ἀλυάττεω τοῦ Κροίσου πατρὸς σῆμα,
τοῦ ἡ κρηπὶς μέν ἐστι λίθων μεγάλων, τὸ δὲ ἄλλο σῆμα
χῶμα γῆς. ἐξεργάσαντο δέ μιν οἱ ἀγοραῖοι ἄνθρωποι καὶ οἱ
χειρώνακτες καὶ αἱ ἐνεργαζόμεναι παιδίσκαι. οὖροι δὲ πέντε 3
ἐόντες ἔτι καὶ ἐς ἐμὲ ἦσαν ἐπὶ τοῦ σήματος ἄνω, καί σφι
γράμματα ἐνεκεκόλαπτο τὰ ἕκαστοι ἐξεργάσαντο. καὶ ἐφαί-
νετο μετρεόμενον τὸ τῶν παιδισκέων ἔργον ἐὸν μέγιστον.
τοῦ γὰρ δὴ Λυδῶν δήμου αἱ θυγατέρες πορνεύονται πᾶσαι, 4
συλλέγουσαι σφίσι φερνάς, ἐς ὃ ἂν συνοικήσωσι τοῦτο
ποιέουσαι· ἐκδιδοῦσι δὲ αὐταὶ ἑωυτάς. ἡ μὲν δὴ περίοδος 5
τοῦ σήματός εἰσι στάδιοι ἓξ καὶ δύο πλέθρα, τὸ δὲ εὖρός
ἐστι πλέθρα τρία καὶ δέκα· λίμνη δὲ ἔχεται τοῦ σήματος
μεγάλη, τὴν λέγουσι Λυδοὶ ἀένναον εἶναι· καλέεται δὲ αὕτη
Γυγαίη. τοῦτο μὲν δὴ τοιοῦτό ἐστι. Λυδοὶ δὲ νόμοισι μὲν 94
παραπλησίοισι χρέωνται καὶ Ἕλληνες, χωρὶς ἢ ὅτι τὰ
θήλεα τέκνα καταπορνεύουσι. πρῶτοι δὲ ἀνθρώπων τῶν
ἡμεῖς ἴδμεν νόμισμα χρυσοῦ καὶ ἀργύρου κοψάμενοι ἐχρή-
σαντο, πρῶτοι δὲ καὶ κάπηλοι ἐγένοντο. φασὶ δὲ αὐτοὶ 2
Λυδοὶ καὶ τὰς παιγνίας τὰς νῦν σφίσι τε καὶ Ἕλλησι
κατεστεώσας ἑωυτῶν ἐξεύρημα γενέσθαι. ἅμα δὲ ταύτας τε
ἐξευρεθῆναι παρὰ σφίσι λέγουσι καὶ Τυρσηνίην ἀποικίσαι,
ὧδε περὶ αὐτῶν λέγοντες· ἐπὶ Ἄτυος τοῦ Μάνεω βασιλέος 3
σιτοδείην ἰσχυρὴν ἀνὰ τὴν Λυδίην πᾶσαν γενέσθαι· καὶ
τοὺς Λυδοὺς ἕως μὲν διάγειν λιπαρέοντας, μετὰ δέ, ὡς οὐ
παύεσθαι, ἄκεα δίζησθαι, ἄλλον δὲ ἄλλο ἐπιμηχανᾶσθαι

1 ἓν . . . καταπορνεύουσι (18) om. d 5 ἐξηργ. A B[1] (?) : ἐξειργ.
C P B[2] 6 νεργαζ. C 12 ἐκδιδόασι L 14 δυώδεκα Thiersch
15 ἀείναον L 18 πρῶτοι δὲ] Λυδοὶ γὰρ δὴ καὶ πρῶτοι d 21 τὰς
παιγνίας . . . Τυρσηνούς (94 extr.)] παίγνια πρῶτοι ἐξευρέσθαι λέγονται
παρ' Ἑλλήνων τῶν τε κύβων καὶ τῶν ἀστραγάλων καὶ τῆς σφαίρης καὶ τῶν
ἀλλέων (ἀλέων S V) πασέων (πασσ. D) παιγνιέων τὰ εἴδεα πλὴν πεσσῶν d
23 ἀποικῆσαι P : ἀποικίσθαι Dobree 24 ἄστυος B 26 ἕως
A B : τέως C P 27 δίζεσθαι P